τῇ λαμπρότητί σου. [4]ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἰδὲ 4
συνηγμένα τὰ τέκνα σου· ἰδοὺ ἥκασιν πάντες οἱ υἱοί σου μακρόθεν,
καὶ αἱ θυγατέρες σου ἐπ᾿ ὤμων ἀρθήσονται. [5]τότε ὄψῃ καὶ φο- 5
βηθήσῃ καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θα-
λάσσης καὶ ἐθνῶν καὶ λαῶν. καὶ ἥξουσίν σοι [6]ἀγέλαι καμήλων, 6
καὶ καλύψουσίν σε κάμηλοι Μαδιαμ καὶ Γαιφα· πάντες ἐκ Σαβα
ἥξουσιν φέροντες χρυσίον καὶ λίβανον οἴσουσιν καὶ τὸ σωτήριον
κυρίου εὐαγγελιοῦνται. [7]καὶ πάντα τὰ πρόβατα Κηδαρ συναχθή- 7
σονταί σοι, καὶ κριοὶ Ναβαιωθ ἥξουσίν σοι, καὶ ἀνενεχθήσεται δεκτὰ
ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξα-
σθήσεται. [8]τίνες οἵδε ὡς νεφέλαι πέτανται καὶ ὡς περιστεραὶ σὺν 8
νεοσσοῖς; [9]ἐμὲ νῆσοι ὑπέμειναν καὶ πλοῖα Θαρσις ἐν πρώτοις, 9
ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν καὶ τὸν ἄργυρον καὶ τὸν χρυσὸν
μετ᾿ αὐτῶν διὰ τὸ ὄνομα κυρίου τὸ ἅγιον καὶ διὰ τὸ τὸν ἅγιον
τοῦ Ισραηλ ἔνδοξον εἶναι. [10]καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ 10
τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι· διὰ γὰρ
ὀργήν μου ἐπάταξά σε καὶ διὰ ἔλεον ἠγάπησά σε. [11]καὶ ἀνοιχθή- 11
σονται αἱ πύλαι σου διὰ παντός, ἡμέρας καὶ νυκτὸς οὐ κλεισθή-
σονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν καὶ βασιλεῖς ἀγομένους.
[12]τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς, οἵτινες οὐ δουλεύσουσίν σοι, ἀπ- 12
ολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσονται. [13]καὶ ἡ δόξα τοῦ Λι- 13
βάνου πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα,
δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου. [14]καὶ πορεύσονται πρὸς σὲ 14
δεδοικότες υἱοὶ ταπεινωσάντων σε καὶ παροξυνάντων σε, καὶ κλη-
θήσῃ Πόλις κυρίου Σιων ἁγίου Ισραηλ. [15]διὰ τὸ γεγενῆσθαί σε 15
ἐγκαταλελειμμένην καὶ μεμισημένην καὶ οὐκ ἦν ὁ βοηθῶν, καὶ θήσω
σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν γενεαῖς. [16]καὶ θηλάσεις 16
γάλα ἐθνῶν καὶ πλοῦτον βασιλέων φάγεσαι· καὶ γνώσῃ ὅτι ἐγὼ
κύριος ὁ σῴζων σε καὶ ἐξαιρούμενός σε θεὸς Ισραηλ. [17]καὶ ἀντὶ 17
χαλκοῦ οἴσω σοι χρυσίον, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύριον,

3 σου ult.] pr. της ανατολης *L* (in *O* sub ※) || 4 ιδε] + παντα V(†) (in *O* sub ※) | ιδου AQ*C*] > BS*L* || 5 οψη] + και χαρηση *L* (in *O* sub ※) | καρδια] + σου S*† | εις] επι S† | πλουτος] πληθος S*† | εξουσιν S*† || 6 γαιφα B† et α′ σ′ θ′] γεφα *L*p, γαιφαρ SAQ*C*p, γεφαρ *L*p*C*p | οισουσιν] + και λιθον τιμιον S*A*C* | fin.] + σοι S*† || 7 σοι $1^0$ > BA† | κριοι] pr. οι A† | σοι $2^0$ > B | δεκτα] pr. δωρα S*† || 8 πετονται BS*L*p | fin.] + επ εμε B*L* || 9 νησοι] pr. αι B = ε S*† | χρυσον AQ] + αυτων BS*LC* = 𝔐 | δια $1^0$] και B || 10 αλλογενεις] pr. υιοι *L* (in *O* sub ※) | ελεος A*L* || 11 εισαγαγειν] pr. του Sc*L* | και βασ. > S*† | βασιλεις] + αυτων BSc*L* = 𝔐 || 12 βασιλεις] + αυτων ASc† | απολουνται] αποθανουνται A† | ερημωθησεται B*LC*p || 13 fin.] + και τον τοπον των ποδων μου δοξασω *L* (in *O* sub ※) || 14 και παροξυναντων σε (in *O* sub ÷)] και προσκυνησουσιν επι τα ιχνη των ποδων σου παντες οι παροξυναντες σε *L* (in *O* sub ※) || 16 και ult. > S*† | θεος] pr. ο A || 17 και $1^0$ > B*† = 𝔐

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/651 UNIVERSITÄT LEIPZIG